## ΠΕΡΙ' ΤΟ'ΠΟΥ, ΚΑΙ' ΧΡΟ'ΝΟΥ, ΚΑΙ' ΠΡΟΣΩ'ΠΟΥ.

Ἀπὸ τοῦ χρόνου. ΟΥ τὴν τυχοῦσαν ἔσχηκεν εἰς πειθὼ δύναμιν τὰ ὑπὸ τῶν παρεπομένων ἐπιχειρήματα. οἷον τόπος, χρόνος, καὶ τὰ ἑξῆς. Καὶ ἀπὸ μὲν τοῦ χρόνου Δημοσθένης ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν πολυειδῶς ἀγωνίζεται. ἔνθα βουλόμενος παραινοῦναι τοὺς Ἀθηναίους πόλεμον ἐξενεγκεῖν ὑπὲρ Ὀλυνθίων τῷ Φιλίππῳ, φησίν. Ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἄνδρες Ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιείς. (Καὶ παρακατιών.) Νυνὶ δὲ καιρὸς ἥκει τίς οὗτος; ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει, καὶ πάλιν. Χρὴ ὦ ἄνδρες Ἀθηναῖοι τὴν Φιλίππου ἀκαιρίαν, καιρὸν ἡμέτερον νομίσαντες, ἑτοίμως συνάρασθαι τοῖς πράγμασιν.

Ἀπὸ τοῦ τόπου. Ἀπὸ δὲ τοῦ τόπου ἐπιδεῖξαι βουλόμενος, πῆ ποτε δεήσειε καὶ Ἀθηναίους σύμπλέξαι τῷ Φιλίππῳ τὰς χεῖρας οἴκοι μένοντας, ἢ τριήρεσι πρὸς ἐκεῖνον καταβάντας, φησὶν ἐν τῷ αὐτῷ. Ἀλλὰ γε μὴν ἡλίκα ἐστὶ τὰ διάφορα ἐνθάδε ἢ ἐκεῖ πολεμεῖν, λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ἡμᾶς δεήσειε, καὶ τὰ ἑξῆς. καὶ ἄλλοθι. Εἴ τε γὰρ ἡμῶν τὴν ἐκείνου κακῶς ποιούντων Ὄλυνθον, παραστήσεται ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται. εἴτε βοηθησάντων μόνον καὶ τὰ ἑξῆς.

Ἀπὸ τοῦ προσώπου. Τῷ δὲ ἀπὸ τῶν προσώπων ληψομένῳ τὰ ἐπιχειρήματα, δεήσει πολλάκις, καὶ πατρίδα τούτων ἀνακρίνειν, πατέρας τε καὶ προγόνους, ἔτι δὲ καὶ παίδευσιν αὐτῶν, ἤθη τε καὶ ἡλικίαν. καὶ τὰ σώμασιν αὐτῶν ἐπιφαινόμενα σημεῖα. ὀξύτητα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ... ΤΟΜΕΑΣ ... ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ... ΙΩΑΝΝΙΝΑ 2006

τητα δηλαδὴ ῥινὸς, καὶ μυκτήρων εὐρύτητα,
ὠχρίασιν, καὶ ἐρυθρίασιν, λευκότητα, καὶ με-
λανότητα, καὶ τὰ κατάλληλα τούτοις ἐπίση-
μαι· ἐκ γὰρ τούτων σχεδὸν ἁπάντων εὐπορῆσαι
πάρεστιν ἐκ τῶν προσώπων ἐπιχειρημάτων. Πα-
ραδείγμασι δὲ τούτων καὶ παρ' ἄλλοις ἐντεύξα-
σθαι μάλα συχνοῖς, μάλιστα δὲ παρὰ Δημο-
σθένει ἐν τῷ περὶ Στεφάνου, καὶ Αἰσχίνῃ ἐν τῷ
κατὰ Κτησιφῶντος, ἐν ᾧ Δημοσθένους κατη-
γορῶν πατρίδα τε καὶ ἤθη, καὶ προγόνους, καὶ
τὰ παραπλήσια ἐκείνου πολυπραγμονῶν, πορί-
ζεται τὰ κατ' αὐτοῦ τούτου ἐπιχειρήματα.

## ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΤΟΠΩΝ. ΠΕΡΙ ΙΣΟΥ, ΜΕΙΖΟΝΟΣ, ΚΑΙ ΕΛΑΤΤΟΝΟΣ.

Ἴσον, μεῖζον, καὶ ἔλαττον, ἰδιαίτατα μὲν ἐπὶ
τῆς ποσότητος λέγονται. πολλάκις μέντοι
καὶ ἐπὶ τὴν ποιότητα μεταφέρονται. οὐ μέν-
τοι κυρίως ἐπ' ἐκείνης εἰσὶ λεγόμενα. Ἔστι δὲ
ἴσον, τὸ ἰσοαρίθμως ἑτέρῳ τινὶ μεταλαμβάνον
τῆς ποσότητος. μεῖζον δὲ καὶ ἔλαττον, ἐκ-
πτώματα τούτου εἰσὶν ἐπὶ θάτερον. τὸ μὲν ὑπερ-
βαῖνον τῷ ἴσῳ· τὸ δὲ ἐντὸς τούτου πίπτον. Εἰ-
ρηνται δὲ οἱ τόποι κοινοὶ, ὅτι πᾶσιν ἐφαρμότ-
τουσι τοῖς λοιποῖς. καὶ ἐπὶ μὲν τοῦ ἴσου τοιαῦτα
ἐργάσαιο τὰ ἐπιχειρήματα. (Ἐκ δὲ τοῦ
πράγματος ὡδί) Ἣν γὰρ Θεμιστοκλῆς ἐν
Σαλαμῖνι κατὰ βαρβάρων, ταύτην Μιλτιάδης
πρότερον κατὰ τῶν αὐτῶν ἤρετο νίκην. (Ἐπὶ δὲ
τοῦ προσώπου) Ὥσπερ μὲν Ἀθηναῖοι Δημοσθέ-
νη τὸν Ῥήτορα χρυσῷ στεφάνῳ δημοσίᾳ ἐτίμη-
σαν,

σαν, ὅτῳ καὶ παρὰ Ῥωμαίοις θαυμάζεσθαι δεῖ τὸν Κικέρωνα. (Ἀπὸ δὲ τοῦ χρόνου) οἷον, νύκτωρ μὲν καὶ ὁ Δόλων ἐπὶ τὸν ναύσταθμον κατάσκοπος κάτεισιν, ἀλλ' οὐδεὶς διὰ τοῦτο τὸν Δόλωνα ἐν ἥρωσιν ἔκρινε. τί οὖν θαυμαστὸν εἰ καὶ ὁ Ὀδυσσεὺς τοῦτο ἐτόλμησε; (Ἀπὸ δὲ τοῦ τόπου) Εἰ δὲ ἀνδρικὸν ἥγησθε ἔργον ἔνδον τοῦ τείχους μένοντες ἀπὸ τῶν ἐπάλξεων τοὺς πολεμίους ἀμύνασθαι, ἄρα λοιπὸν καὶ τοὺς σκορπίους ἀρίστους νομίζειν ἥρωας, ἐξ ἀφανοῦς τὰ καίρια πλήττοντας. Τὰ πολλὰ μέντοι τὰ ἐκ τοῦ ἴσου ἐπιχειρήματα, τοῖς ἀπὸ τοῦ ὁμοίου εἰσὶ τὰ αὐτά. τὸ γὰρ ἴσον (ὡς εἴρηται) καὶ ἀντὶ τοῦ ὁμοίου ἐπὶ τῆς ποιότητος παρὰ τοῖς Ῥήτορσι λαμβάνεται, καὶ ἐναλλάξ. Ἐπεὶ δὲ τοῦ ἐλάττονος τοιούτοις χρήσασθαι δυνατὸν τοῖς ἐπιχειρήμασιν. ἐπὶ μὲν τοῦ πράγματος φέρ' εἰπεῖν. Εἰ μὲν τοὺς χρήματα ζημιώσαντας κολάζομεν, πῶς οὐ πολὺ μᾶλλον τοὺς εἰς αὐτὸ τὸ σῶμα ἠσελγηκότας; (Ἀπὸ δὲ τοῦ προσώπου) Εἰ μὲν ταῦτα παρ' ἐλευθέρων οὐδαμῶς ἀνεχώμεθα, χολῇ γε ἂν παρὰ δούλων οἴσομεν. ἢ οὕτως. Εἰ μὲν καὶ τοὺς τυχόντας ἐπιχειρεῖν ἀδικεῖν δεινόν, χαλεπώτερον πάντως τοὺς ἰδίους δεσπότας. (Ἀπὸ δὲ τοῦ καιροῦ) Εἰ γὰρ ἐν ἄλλῳ τινὶ καιρῷ ὑβρίζειν τῶν ἀνυποίστων ὑπείληπται, πολλῷ μᾶλλον ἐν Διονυσίοις; (Καὶ ἀπὸ τοῦ τόπου) Δεινὸν μὲν οὖν εἰ καὶ ἐν βεβήλῳ τόπῳ τὸ πραχθὲν ἐσκευώρητο; ἢ κατ' ἰδίαν, ἀλλὰ χαλεπώτερον δήπουθεν ἐν ἱερῷ καὶ ἐν θεάτρῳ. (Ἀπὸ δὲ τοῦ τρόπου) Εἰ μὲν οὖν καὶ τὸ ἁπλῶς ὑβρίσαι δεινόν, πῶς οὐ χαλεπώτερον καὶ πληγὰς ἐπιθεῖναι, καὶ τὴν ἱερὰν περι-

περιέξεσθαι αἰσθητά; (Ἐκ δὲ τῆς αἰτίας) Οἱ μὲν ἡμέτεροι πρόγονοι καλῶς ποιοῦντες, νόμον θέντα μὴ ἐξεῖναι τοῖς καὶ δεινόν τι παρά του πεπονθόσιν ὑβρίζειν, ἀλλ᾽ ἐπὶ τοὺς προκαθημένους τῆς δίκης τὸ τολμηθὲν ἀναφέρειν, καὶ παρ᾽ ἐκείνων τὴν ψῆφον καραδοκεῖν. ὁ δὲ καὶ μηδέν τι δεινὸν πεπονθὼς, τὴν τῶν χηρῶν ἐν τῇ ἑορτῇ εὐδοκίμησιν, τοῦ παρανομεῖν αἰτίαν πεποίηται. τῷ αὐτῷ δὲ λόγῳ καὶ τὰ ἀπὸ τοῦ μείζονος ἐργάσαιο ἐπιχειρήματα.

## ΠΕΡΙ ὉΜΟΙΟΥ ΚΑΙ ἈΝΟΜΟΙΟΥ.

Τό, τε ὅμοιον καὶ ἀνόμοιον καθ᾽ αὑτὸ τῆς ποιότητος εἰσὶν ἴδια, σχετικῶς δ᾽ ἄμφω πρὸς ἕτερα λέγεται, ἅτε δὴ καὶ ἐπὶ τῆς ποσότητος τὸ ἴσον, μεῖζον, καὶ ἔλαττον. ὅμοια δ᾽ οὖν ἐκεῖνα ζητέον, ἃ κοινωνίαν τινὰ ποιότητος εἴληχεν, ἢ ἀναλογίαν πρὸς ἄλληλα. ἀνόμοια δὲ, τὰ μὴ κατὰ τὸν αὐτὸν κοινωνοῦντα λόγον. οἷον, ὅμοιον μὲν ψιμμύθιον ἡ χιών, ἀμφότερα γὰρ λευκά. ἔστι γοῦν θάτερον διακριτικὸν ὄψεως, καὶ θάτερον. καὶ πάλιν. ὅμοιον μὲν τῇ ὑγείᾳ, παιδεία· καθάπερ γὰρ φυλακτικὸν σώματος ἡ ὑγεία, οὕτω τῆς ψυχῆς φυλακτικὸν πέφυκεν ἡ παιδεία. ἢ οὕτως. ὥσπερ ἐν στρατοπέδῳ ὁ στρατηγὸς, οὕτως ἐν βίῳ παιδεία. οὔτε οὖν ἄνευ στρατηγοῦ ἐν στρατοπέδῳ ἐστὶν εὐταξία, οὔτε παιδείας ἐκτὸς ἐν βίῳ ἐστὶ κοσμιότης. Ἐπὶ δὲ τοῦ ἀνομοίου, οὕτως. Οὐ ταὐτόν ἐστι περὶ θεοῦ λέγειν, καὶ περὶ τῶν αἰσθητῶν τινὸς διαλέγεσθαι. ἐκεῖνα μὲν γὰρ ταῖς αἰσθήσεσι μεταλαμβάνεται, παρ᾽ ὧν καὶ πέφυκε κρίνεσθαι. τὸ δὲ θεῖον οὐ



ΙΩΑΝΝΙΝΑ 2006

τῶν ὑλικῶν, πάντων διέστηκε, τοσοῦτον ἡμῶν τὸ ἡγεμονικὸν ὑπερβέβηκεν. οὔτε σαρκὶ ὂν ψαυστόν. οὔτε ἀκοῇ παθητόν. οὔτε ὀφθαλμοῖς ὁρατόν. οὔτε φωνῇ ῥητόν. διὸ οὐδὲ παντὸς τὸ περὶ θεοῦ φιλοσοφεῖν, ἀλλὰ μόνοις τοῖς ἐν θεωρίᾳ διαβεβηκόσι, καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένοις. καὶ τούτοις οὐκ ἐκ τῶν καθ' αὐτὸ τὸ θεῖον λαβεῖν, ἀλλὰ τῶν περὶ αὐτό, ἡ φησὶν ἡ θεολόγος φωνή. καὶ οὕτως. Ἀνόμοιον μὲν εἰ καὶ μὴ κατὰ πάντα, ποίμνης ἄρχειν καὶ ἐπιστατεῖν ψυχαῖς, οἷον τὸ τοῦ θεολόγου ἐν τῇ ἀπολογίᾳ. Οὐκ ᾤμην ἴσον εἶναι οὐδὲ νῦν οἴομαι, ποίμνης ἄρχειν καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς, καὶ τὰ ὅμοια.

## ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΚΕΙΜΕΝΩΝ.

Τετραμερῆ τὴν τῶν ἀντικειμένων διανομὴν οἱ περὶ τοὺς φιλοσόφους ἀξιοῦσι γίγνεσθαι. ἢ γὰρ καταφάσεως καὶ ἀποφάσεως ἀντιθέσει. οἷον, ἥδεται, οὐχ ἥδεται, ἢ εὐνομεῖται, ἢ οὐκ εὐνομεῖται. ἢ ἐναντιώσεως ἀντιθέσει. οἷον, χρηστός, ἢ φαῦλος. ἢ καθ' ἕξιν καὶ στέρησιν. ὡς ὄψις, τυφλότης. ἀπουσία, παρουσία. ἢ ὡς τὰ πρός τι. οἷον, ἄρχων, ἀρχόμενος. διδάσκων, διδασκόμενος. πατήρ, υἱός. Ἐπὶ τούτων οὖν ἁπάντων ἔστιν ἐπιχειροῦντας τοῦ ἑτέρου τῶν ἀντικειμένων ὁμολογουμένου, ἢ ὑποτιθεμένου, ἐπὶ θάτερον τῶν ἀντικειμένων ἐπισυναγαγεῖν τὸ ἀντικείμενον. οἷον φέρε εἰπεῖν. Ἐπὶ τῶν κατὰ ἀπόφασιν καὶ κατάφασιν λεγομένων. εἰ τὸ ἥδεσθαι ἔστιν εὐδαιμονεῖν, τὸ μὴ ἥδεσθαι οὐκ ἔσται εὐδαιμονία. ἢ οὕτως, ὃ καὶ μᾶλλον ἔστιν ἀληθέστερον.

τερον. εἰ τὸ εὐνομεῖσθαι ἐστὶν εὐπραγία πόλεως, ἡ μὴ εὐνομουμένη πόλις οὐκ εὐπραγήσει. Ἐπὶ δὲ τῶν ἐναντίων οὕτως. εἰ τοὺς χρηστοὺς προσήκει φιλεῖν, μισεῖν ἕπεται τοὺς φαύλους. καὶ εἰ τοὺς κακῶς δράσαντας ἀμυνόμεθα, τοὺς εὐεργετήσαντας ἀντευεργετεῖν ὀφείλομεν. Καὶ ἐπὶ τῶν κατὰ στέρησιν. Εἰ μὲν ἡ τυφλότης λύπης παραίτιον, καὶ ἡ ὅρασις ἡδονῆς ἔσται πρόξενος. καὶ ὥσπερ ἡ τοῦ στρατηγοῦ ἀπουσία ἀταξίαν ἐμποιεῖ τοῖς στρατευομένοις, οὕτως ἡ παρουσία τῆς ἐκείνων εὐταξίας αἰτία καθέστηκεν. Ἐπὶ δὲ τῶν πρός τι οὕτω. καθάπερ τῷ ἄρχοντι εὖ ποιεῖν προσήκειν ἡγούμεθα, οὕτω καὶ τῷ ἀρχομένῳ παρ' ἐκείνου εὖ πάσχειν· καὶ εἰ τῷ διδάσκοντι λέγειν προσήκει, καὶ τοῖς διδασκομένοις ἕπεται τὸ διὰ σιγῆς ἀκροᾶσθαι.

## ΠΕΡΙ ΑΞΙΩΣΕΩΣ ΕΙΤΟΥΝ ΜΑΡΤΥΡΙΑΣ.

Η Ἀξίωσις, (ἣν καὶ κεκριμένον εἴωθεν ὁ Ἀριστοτέλης πολλαχοῦ καλεῖν) δόξα ἐστὶν, ἤτοι ὑπόληψίς τινος ἢ τινῶν περί τινος ἔχειν οὕτως ἢ μὴ ἔχειν. Ἐστὶ δὲ προκριτέα μᾶλλον, ἡ μᾶλλον κοινή· καὶ ἡ τοῦ ἢ τῶν σοφωτέρων καὶ φρονιμωτέρων, καὶ τούτων ἢ πάντων, ἢ τῶν πλείστων, ἢ τῶν γνωριμωτάτων, καὶ δόξαν φερόντων περὶ ἃ ἡ ἀμφισβήτησις προσβάλλεται. προσβάλλεται δὲ πρὸς πειθὼ τὰ μάλιστα καὶ ἡ τῶν συναγωνιστῶν δόξα, ἢ τῶν ἀποδεχομένων ἐκείνους, ἐπειδὰν δηλαδὴ τοιαῦτα δοξάζοντας δείξωμεν τοὺς ἀνταγωνιζομένους, οἷα ἡμεῖς φαμεν, ἢ τοὺς παρ' ἐκείνοις μέγα εἰληχότας ὄνο-

μα. ἔστι γὰρ οἷον μάρτυρας αὐτοὺς τῶν λεγομένων ἐπάγειν. τὰ δὲ ἐντεῦθεν ἐπιχειρήματα, τοιαῦτα. Καὶ οὐχ ἡμεῖς μισοῦμεν μόνον καὶ κακῶς ποιοῦμεν τοὺς ἐχθροὺς, ἀλλὰ καὶ οἱ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι τοὺς ἐχθροὺς τιμωρεῖσθαι. καὶ οὕτως. οὐ μόνον οἱ Ἕλληνες τοὺς νεωτερίζοντας ἐν τῇ Ἐκκλησίᾳ μυσάττονται, ἀλλὰ καὶ τὰ λοιπὰ ἔθνη, ὅσα τὴν τῶν χριστιανῶν πρεσβεύουσι θρησκείαν· καὶ τὸ τοῦ Θεοφυλάκτου, ὅτι τὸ θνήσκειν, τέλος μᾶλλον, ἢ αἰτία ἐστὶ τῶν ἀνιαρῶν, οὐ γὰρ παράγει φησὶν ὁ δημιουργὸς ἐπὶ τὸ χεῖρον τὰ δημιουργήματα. εἰ γοῦν τὸ θνήσκειν ὑπὸ τοῦ δημιουργοῦ κέκριται, οὐκ ἔστιν ἀπὸ τοῦ κρείττονος εἰς τὸ χεῖρον διάλυσις· ἀλλ' ἀπὸ τοῦ χείρονος εἰς τὸ κρεῖττον μετάστασις. Εὐπορήσομεν δὲ τῶν ἀξιώσεων, καὶ ἐξ ὧν οἱ πάλαι φιλόσοφοι συγγεγράφασι, καὶ ἀπὸ τῆς καθ' ἡμέραν ὑπολήψεως, καὶ τούτων ἢ πάντων, ἢ τῶν γνωριμωτέρων καὶ φρονιμωτέρων.

## ΠΕΡΙ ΤΩΝ ΤΕΛΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ.

Ἐξεθέμεθα οὖν ξὺν Θεῷ μέχρι τοῦδε οὓς ἀνωτέρω ἀπηριθμηκότες ἐσμὲν τόπους, καὶ ὡς παρ' ἐκείνων ληπτέα εἴη τἀπιχειρήματα. ἐμοὶ δοκεῖ ἀποχρώντως εἰρῆσθαι, τῷ γε συντετμημένῳ τοῦ συγγράμματος, καὶ πρὸς ἀκροατὰς φιλοπονεῖν μὴ κατοκνοῦντας. Ἐχόμενον δ' ἤδη εἰπεῖν καὶ περὶ τῶν τελικῶν κεφαλαίων, ἅτινα εἰσὶ κατά γε Ἀριστοτέλη τὸ δίκαιον. τὸ νόμιμον. τὸ συμφέρον. τὸ καλόν. τὸ ἡδύ. τὸ δυνατόν. τοιαῦτα γὰρ ἐπειδὰν δείξωμεν, ἐφ' ἃ παρα-

παρακαλουμένη ἢ τἀναντία τούτοις, παρ' ὧν ἀποτρέπομεν, πάσα τοῦ σκοποῦ ἐπιτετυχηκότες ἐσόμεθα. Ἔστι γὰρ ὡς εἰπεῖν τάδε, καὶ ἀμειλίκτου ψυχῆς εἰς ἐπιείκειαν θέλγητρα, καὶ ἱκανὰ πρὸς πειθὼ παρορμήματα.

## ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΥ.

Δίκαιον μὲν οὖν ἐστιν (ἥπερ Ἀριστοτέλει ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ ὥρισαι) τὸ τῶν ἁπάντων, ἢ γοῦν τῶν πλείστων ἔθος ἄγραφον, διορίζον τὰ καλὰ καὶ αἰσχρά. τοιοῦτον δέ ἐστι τὸ γονέας τιμᾶν. φίλους εὖ ποιεῖν. τοῖς εὐεργέταις χάριν ἀντιδιδόναι, καὶ ὅσα τούτοις παραπλήσια. ἐκ φύσεως γὰρ ταῦτα, καὶ οὐχ ὑπ' ἐγγεγράφων νόμων οἱ ἄνθρωποι πράττειν ἐπάγονται. Κατασκευάσαιο δὲ τὸ δίκαιον, ἢ ἀπὸ τοῦ προσώπου, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ ὁμοίου, ἢ ἀπὸ τοῦ ἐναντίου καὶ ἐνδόξου. Καὶ ἀπὸ μὲν τοῦ προσώπου· οἷον, Θηβαίους δίκαιον ἐπιελθεῖν, καὶ τὸν ἐνόντα τρόπον χεῖρας ὀρέγειν φιλοκορίας. Ἕλληνες γὰρ καὶ ἡμῖν ὁμόφυλοι, καὶ προσέτι καὶ ἀστυγείτονες. ἀλλὰ καὶ εὐεργέται εἰ οὕτω τύχῃ. (Ἀπὸ δὲ τοῦ πράγματος) ὅτι ἴσον ἢ κατ' ἀξίαν καὶ τοῖς πᾶσιν, ἢ γοῦν τοῖς δικαιοτέροις τοιοῦτον ὑπειλημμένον. οἷον, ἡ γοῦν δίκαιον, ὥσπερ τῆς οὐσίας οὕτω καὶ τῆς φιλίας τῆς πατρῴας κληρονομεῖν. (Ἀπὸ δὲ τοῦ ὁμοίου) ὥσπερ δίκαιον νομίζομεν τοῖς γονεῦσι πείθεσθαι, τὸν αὐτὸν τρόπον προσήκει μιμεῖσθαι τοὺς υἱοὺς τὰς τῶν πατέρων πράξεις. (Ἐκ τοῦ ἐναντίου) ὥσπερ ἐν εἰρήνης καιρῷ ἡσυχίαν ἄγειν τοὺς στρατιώτας καὶ εἰς ἡδονὰς ἀνεῖσθαι δίκαιον ὑπείληπται, οὕ-

τως

ΙΩΑΝΝΙΝΑ 2006

τως ἐν καιρῷ πολέμου ἐνεργὲς εἶναι, καὶ ἡδονῶν ἀπέχεσθαι. (Ἀπὸ τοῦ ἐνδόξου) οὐδεὶς τῶν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι εὕρηται, ὃς δίκαιον οὐκ ἂν ἔκρινε τοῖς εὐεργέταις χάριν ἀποδιδόναι. Εἰ δέποτε ἀνασκευάσαι τῷ δικαίῳ βουλώμεθα, τοῖς ἐναντίοις τῶν εἰρημένων χρησόμεθα.

## ΠΕΡΙ ΤΟΥ ΝΟΜΙΜΟΥ.

Ἐπειδὴ δὲ νόμος ἐστὶν ὁμολόγημα πόλεως, κοινὸν διὰ γραμμάτων προστάττον, πῶς χρὴ πράττειν ἕκαστα τῷ φιλοσοφοῦντι ὁρίσαι, νόμιμον ἂν εἴη πᾶν τὸ κατὰ νόμον πραττόμενον. Ὑποβέβηκε δὲ τῷ δικαίῳ τὸ νόμιμον, ὅτι ἐκεῖνο τοῖς πᾶσι κοινῆς ὄντος ἀκολουθία τῆς φύσεως, τὸ δὲ ἔθνει τινὶ, ἢ πολιτείᾳ καὶ κατὰ δόξαν τῶν πολιτευομένων τὸ κῦρος ἔσχηκεν. Ἔστι δὲ τῶν ἀτέχνων πίστεων, ὥστε δὴ καὶ ὅσα εἰς νόμους καὶ συνθήκας ἀνήκουσιν ἐπιχειρήματα. Λαμβάνειν μέντοι τὴν σύστασιν ἐνδέχεται, πρῶτον μὲν, εἰ τοῦθ' ὃ διαγορεύει ὀρθῶς ἔχον καὶ προσηκόντως δόξωμεν, εἶτα καὶ ἔνδοξον, καὶ κατὰ τὴν τῶν πολλῶν κρίσιν, ἢ γοῦν τῶν σοφωτέρων. καὶ προσέτι ἀπὸ τοῦ χρόνου καθ' ὃν γέγραπται, τῆς τε ποιότητος καὶ διανοίας τοῦ γράψαντος. Ἀπὸ μὲν τοῦ διαγορευομένου οὕτω συνίστησι τὸν νόμον Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι καὶ καταμανθάνετε, ὅτι ἐνταῦθα ἔνι καὶ τοὺς ἀξίους ἔχειν τὰ δοθέντα. καὶ τὰ ἑξῆς. Ἀπὸ δὲ τοῦ ἐνδόξου ἐμπεδοῦται παρ' αὐτῷ τούτῳ ὁ νόμος ἐν τῷ κατὰ Μειδίου. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι τοῦ νόμου τῆς φιλανθρωπίας, ὡς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ;

ΙΩΑΝΝΙΝΑ 2006

ζυσί· εἰ μακάριος θεοῦ, καὶ τὰ λοιπά. εἶτα πα-
ρακελευστικῶς ἐπιφέρει. Τὸν τοίνυν οὐ παρὰ τοῖς
Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον, ἀλλὰ καὶ παρὰ τοῖς
βαρβάροις εὖ δόξαντ' ἔχειν σκοπεῖσθαι
παραβάς, καὶ τὰ ἑξῆς. Ἀπὸ δὲ τοῦ χρόνου. Οὐ
πρὸ χθὲς, ἢ πρῴην τοῖς παροῦσιν ἔτεσι γέγραπται
νόμος, ἀλλὰ μακρᾷ καὶ πολυετεῖ παρόδῳ τοῦ
χρόνου, καὶ παρὰ πολλῶν καὶ σοφωτάτων συγ-
[illegible] βεβαιωθεὶς, καὶ οὐκ ἄν τις τὰ
νῦν εἴποι αὐτὸν μὴ καλῶς ἐσχηκέναι. Ἀπὸ δὲ
τῆς ποιότητος, καὶ τῆς διανοίας τοῦ γράψαν-
τος. [illegible] συνείδησιν ἐν τῷ κατὰ Δημοκράτους. εἰπέ
[illegible] δεινότατον πάντες ἂν ἀκούσαντες φήσε-
τε; καὶ τί ἂν μάλιστα ἐπεύξασθε; καὶ τὰ
λοιπά.

## ΠΕΡΙ ΤΟΥ ΣΥΜΦΕΡΟΝΤΟΣ.

Τὸ μὲν συμφέρον ὁ Ἀριστοτέλης κοινότερον ὑπὸ
τὸ ἀγαθὸν ἔταξεν. ἔστι δὲ κυρίως συμφέ-
ρον τὸ ἀγαθοῦ τινος περιποιητικόν. τοῦτο δὲ
τριχῆ δυνατὸν γενέσθαι. ἢ διὰ τῆς φυλακῆς
τῶν προσόντων, ἢ διὰ τῆς προσπορίσεως τῶν
μὴ προσόντων ἀγαθῶν, ἢ γοῦν τῶν ἐναντίων
ἐστὶ κωλυτικόν. καὶ τοῦτο διχῶς. ἢ διὰ τούτων
ἀπαλλαττόμενοι τὰ ἐπικείμενα τῶν βλαβερῶν, ἢ ὅτι
τὰ προσδοκώμενα διαφεύγομεν. Κατασκευά-
ζεται δὲ μάλιστα τὸ συμφέρον ἀπὸ τῶν ἐμβα-
[illegible], ἐπειδὰν δήπου δείξωμεν τὸ ἐκβησόμενον
[illegible], τὸ δὲ ἐναντίον τούτου ζημίαν
[illegible] προξενῆσαν τοῖς τυχοῦσιν. ὅπερ ὁ ῥή-
τωρ ἐφιλοτεχνήσατο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀ-
λυνθίων, ἔνθα δείκνυσιν ἡλίκα ἐγγεγένηται τὰ δια-

φορᾷ, τὸν πόλεμον ἐπὶ τῆς Ἀττικῆς ἢ Θράκης συγκροτηθῆναι. Εἰ δὲ πρὸς τούτῳ καὶ τὸ ἡμῖν συνοῖσον, καὶ τοῖς ἐχθροῖς ἀνιαρὸν καὶ ἐπιζήμιον δείξωμεν, μᾶλλον πειθοίμεθα τοὺς ἀκροατὰς εἰς πειθὼ παρελκύσαντες· τοῦτο δέ ἐστιν, ὅπερ οἱ τῶν Κερκυραίων πρέσβεις κέχρηνται παρὰ Θουκυδίδῃ. Καὶ ἐπιψαυσθὲν τῆς συμπραξίας ἀναγκαιότερα, καὶ τὰ λέξεις. Κατασκευάζεται δὲ πολλὰ ταῦτα τὸ συμφέρον ἀπὸ τοῦ χρόνου, εἰ δείξωμεν οὐχ ὅπως ἐπὶ τοῦ παρόντος, ἀλλὰ καὶ ἐς τὸ ἐπιὸν συνοῖσον τῇδε τῇ πόλει, καὶ προσέτι ἐκ παραδειγμάτων, ἃ τῇ μάλα πολλοῖς ἐστιν εὑρέσθαι, παρά τε Δημοσθένει, καὶ τοῖς λοιποῖς Ῥήτορσι.

## ΠΕΡΙ ΤΟΥ ΔΥΝΑΤΟΥ ΚΑΙ ῬΑΔΙΟΥ.

Ἐπεὶ δὲ ἕκαστος ἐννοεῖ τὰ δυνατὰ ἐργάζεται, καὶ οὐδεὶς τοῖς ἀδυνάτοις ἐπιχειρήσειεν, εἰκότως οἱ Ῥήτορες καὶ τὸ περὶ δυνατοῦ καὶ ἀδυνάτου λόγος ἔπεισι. Δυνατὸν οὖν καὶ ῥᾴδιον κατασκευάσομεν τὸ προτεθέν. Πρῶτον μὲν ἐξ αὐτῆς τῆς τοῦ ζητουμένου φύσεως, εἴγε παντὶ ἁλωτὸν, καὶ πόνῳ μάλα βραχεῖ, καὶ δαπάνῃ, καὶ χρόνου ἐπιδέσιμον. Εἶτα ἀπὸ τῆς ἡμετέρας ἰσχύος, καὶ τῆς τῶν ἀντικειμένων ἀσθενείας, ἰσχυροὺς ἡμᾶς αὐτοὺς δείξομεν, ἔκ τε τῆς φυλακῆς τῆς πόλεως, τοῦ τε ἐξαγομένου καὶ εἰσαγομένου ἐν αὐτῇ, καὶ προσέτι ἐξ εὐπορίας χρημάτων, φίλων, συμμάχων, καὶ ἀνδρῶν τὰ πολεμικὰ μάλιστα ἠσκημένων· ὁμοίως τὰ αὐτὰ καὶ ἐκ τῶν ἐναντίων, τὰ μὲν ἡμέτερα δηλαδὴ φέροντες, τὰ δὲ τῶν ἐναντίων ἐλαττοῦντες τε

καὶ

...ης καυχῶντες· σκεπτέον δὲ καὶ ὡς ἂν πρὸς ἀλλήλους ἔχωσιν, οἵτε σύμμαχοι καὶ πολῖται· ἐκ γὰρ τῆς τούτων συμπνοίας τε καὶ συμψυχίας τὸ δυνατὸν μάλιστα κατασκευάζεται τῆς πόλεως, ὡς καὶ τοὐναντίον ἐκ τῆς στάσεως καὶ διχονοίας τῶν τοιούτων. οἷόν τι ἐστὶ τὸ δημοσθενικὸν ἐκεῖνο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων· ἔνθα τὴν τοῦ Φιλίππου δύναμιν ὡς ἀκαταμάχητον δεδιότας τοὺς Ἀθηναίους ὁ ῥήτωρ ἀναθαῤῥύνει, καὶ πρὸς τὸν κατ᾽ ἐκείνου πόλεμον ἀνεγείρει. διελὼν γὰρ καὶ κατακερματίσας πρὸς μέρος τὸ ἐκείνου δυνατὸν, διέλυσεν. ἄπιστον μὲν ἐκεῖνον δεικνὺς τοῖς συμμάχοις, τοὺς δὲ τῶν πραγμάτων ἐφεστηκότας, ... τὰς γνώμας, καὶ ἐπιβουλὴν διακειμένους, ἅττα ἐκεῖνος διεξέρχεται περὶ Θετταλῶν. Παίονας δὲ καὶ Ἰλλυριοῖς ἐκεῖνος ... μάλιστα ἐπεμβαίνετο, ἐλευθερίᾳ ζῆν ἔφη, ... ἀήθεις φέρειν τὴν ἐκείνου ὠμότητα. κατ᾽ αὐτὸ καὶ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ, καὶ Θουκυδίδης ἐν ταῖς συχναῖς δημηγορίαις κατεσκεύασεν.

## ΠΕΡΙ ΤΟΥ ΚΑΛΟΥ.

Τὸ καλὸν, ὅτι τὸ δι᾽ αὐτοῦ αἱρετὸν ὂν, ἐπαινετόν ἐστιν, ἢ ὅπερ ἂν ἡδὺ, ἢ ὅτι ἀγαθὸν, καὶ αὐτοὶ μὲν εἴδετε ἀνωτέρω ἐντετυχηκότες τοῖς αὐτοῖς τοῦ Ἀριστοτέλους ῥήμασι. συνίσταται δὲ τὸ καλὸν καὶ ἐξ αὐτῆς τῆς τοῦ ὑποκειμένου πράγματος φύσεως, καὶ ἀπὸ τῆς τῶν πολλῶν κρίσεως· ὅτι δηλαδὴ παρὰ πᾶσιν ἐπαινεῖται τὸ τοιοῦτον, ἢ γοῦν παρὰ τοῖς σοφωτέροις, καὶ τοῖς ἤθεσι βελτίοσι· καὶ ὅτι φιλεῖται, καὶ διὰ τιμῆς



ΙΩΑΝΝΙΝΑ 2006

μῆς ἄγεται. καλαὶ δὲ καὶ ὅσαι ἑκάστῳ ἐν τῷ βίῳ προσήκουσιν, οἷαι εἰσὶν αἱ ἀρεταὶ, καὶ ὅσαι εἰς ἐκείνας ἢ οἷς σημεῖα, ἢ ὡς ἔργα ἀνήκουσιν. εἰ οὖν τοιοῦτον τὸ προτεθὲν δείξωμεν, ἀποχρώντως ἐσόμεθα κατεσκευακότες τὸ καλόν.

## ΠΕΡΙ ΗΔΕΩΝ.

Ἡδέα δὲ ὁ Ἀριστοτέλης ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ εἴρηκεν ἐκεῖνα, ὅσα χαρὰν ἀπεργάζεται. ἐν δὲ τῷ πρώτῳ τῷ πρὸς Θεοδέκτην ὑποθέμενος πρῶτον, τὴν ἡδονὴν κίνησιν εἶναι τῆς ψυχῆς, καὶ ἀθρόαν κατάστασιν, καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, ὑπήνεγκε λέγων· Ἡδὺ εἶναι τὸ τῆς αὐτῆς ἡδονῆς ποιητικὸν, τὸ δὲ ἐναντίον ἐστὶ λυπηρόν. Κατασκευάσαις δὴ ἂν τὸ ἡδὺ μάλιστα ἐκ τῆς τῶν ἡδονῶν ἀπολαύσεως, ὧν δύο εἰσὶ γένη· τὸ μὲν εἰς τὰς αἰσθήσεις ἀνῆκον· τὸ δὲ κατὰ διάνοιαν. ὅπερ διαγράψαις μάλιστα τῷ λόγῳ πρὸς τοὺς ἀκροατὰς, καὶ ὡσανεὶ παραστήσαις ἐκεῖνον τῇ φαντασίᾳ, συγκρίναις τε πρὸς ἄλληλα, καὶ ἐκ τῶν ἐναντίων τῶν λυπηρῶν δηλαδὴ ἐμπεδώσαις. Ἀκριβὴς δὲ ἔσται ἡ τοῦ ἡδέος σύστασις, εἴγε καὶ καλὸν αὐτὸ ἀποφήνωμεν, δίκαιόν δηλαδὴ καὶ κατὰ νόμον, καὶ παρ' οὐδενὸς κωλυόμενον. Εἶχεν ἂν ἀποχρώντως τὸ συνταγμάτιον ἡμῖν ἐνταῦθα, εἴγε κατὰ ταῦτα τοῖς συμβουλεύουσι καὶ δικάζουσιν ἦσαν, καὶ τοῖς ἐπιδεικνυμένοις αἵ τε πίστεις, καὶ αἱ προτάσεις. Ἐπεὶ δὲ ἀφωρισμένως τῶν ἄλλων γενῶν τοῦ πολιτικοῦ λόγου, τὸ ἐπιδεικτικὸν ἰδίαν ἔλαχε τὴν θεωρίαν. ἐκεῖνα μὲν γὰρ ἀμφισβητουμένας προτίθησι τὰς προτάσεις,

τάσεις, καὶ ἀποδείξεσι τὰ πολλὰ καὶ παραδείγ-
μασιν ἐμφιλοχωρεῖν, δι᾽ ὧν ταύτας πιθανὰς
ἀπεργάζεται. Τὸ δὲ ἐπιδεικτικὸν ὁμολογου-
μένας μὲν λαμβάνει τὰς προτάσεις, διὰ δὲ
τῆς αὐξήσεως, καὶ οὐ δι᾽ ἀποδείξεων μέγεθος
ταύταις καὶ κάλλος περιτίθησι· διὸ δὴ οὐκ ἀπὸ
σκοποῦ ᾠήθημεν εἶναι, ὀλίγ᾽ ἄττα περὶ αὐτοῦ ἰδια-
ζόντως διαλαβεῖν, καὶ ὅσα ἐς μόνην ἀνήκουσι
τὴν τῶν Ἀριστοτελικῶν ῥημάτων ἀνάπτυξιν. τῷ
δὲ πλείονα περὶ τούτου εἰδέναι γλιχομένῳ, ἔστι
ῥαδίως ἀναλέξασθαι, τοῖς τε τῷ Ἀφθονίῳ εἰ-
ρημένοις, καὶ τοῖς περὶ ἐκείνων σχολαστικῶς ἐν-
τυχόντι. Τὸ μὲν οὖν ἐγκώμιον ἐπαίνου διαφέ-
ρειν τινὲς ἡγοῦνται, ἐν τῷ μεγέθει καὶ τῷ πλή-
θει. τὸν μὲν γὰρ ἔπαινον σύντομόν τινα καὶ
ἁπλοῦν εἶναι ἔφησαν, καὶ ψιλὴν ἀρετῆς μαρτυ-
ρίαν. τὸ δὲ ἐγκώμιον μέγεθός τε ἔχειν, καὶ ἐν
κατασκευαῖς ἐκφερόμενον, πατρίδα τε καὶ γέ-
νους ἐπιφάνειαν, παιδείαν, καὶ ἀνατροφὴν, καὶ
πράξεις, καὶ θάνατον πολλάκις συμπεριλαμβά-
νον. Ὁ δὲ Ἀριστοτέλης ἑκατέρῳ τὸν ἔπαινον,
λόγον ἐμφανίζοντα μέγεθος ἀρετῆς ὡρίσατο.
Τὸ δὲ ἐγκώμιον ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥη-
τορικῇ ἔφη εἶναι προαιρέσεων, καὶ πράξεων, καὶ
λόγων ἐνδόξων αὔξησιν, καὶ μὴ προσόντων συν-
οικείωσιν. ἐκ τῶν ἀπάντων ὁ ψόγος ἐστὶ ταπεί-
νωσις. οἰκειοῦσθαι γὰρ ὡς αὐτὸς οὗτός φησι, τὸν
μὲν ἔπαινον, τῶν ἀρετῶν. τὸ δὲ ἐγκώμιον, τῶν
πράξεων. Δεῖ οὖν τὸν ἐγκωμιάζοντα πρὸ πάν-
των εἰδέναι, οἷος ἐστὶν ὁ ἐγκωμιαζόμενος, τί-
νες αἱ προαιρέσεις ἐκείνου, οἱ λόγοι τε καὶ πρά-
ξεις, πατρίς γ᾽ ἔτι καὶ πρόγονοι, καὶ ἄλλα ὅσα

ἔξωθεν ἑκάστῳ ἡ τύχη ταμιεύεται. ἢ ἐξ ἱστορίας παραλαβεῖν, ἢ παρὰ τοῦ ἄλλου καταμαθεῖν. Ἐκθέντες τοιγαροῦν ἐπὶ τῶν ἐγκωμίων τὸ προοίμιον τὰ μάλιστα κατὰ τὴν ἀρετὴν διαφέροντα τῶν ἐκείνου προαιρέσεων, ἢ λόγων, ἢ πράξεων, καθ' ἕνα ἐπενέγκομεν, καὶ τεχνικωτέρᾳ τινὶ τῶν λόγων ἰδέᾳ ἐκφράσαντες μεγαλύνομέν τε καὶ ἀποσεμνύνομεν ταῖς αὐξήσεσι. Λαμβάνονται δὲ αὗται κατά τε ποσὸν καὶ ποιόν. καὶ κατὰ μὲν τὸ ποσὸν τηνικαῦτα αὐξήσομεν τὸ προτεθέν, ἐπειδὰν πολλάκις τοῦτο δειξόμεν πεπραχότα τὸν ἐπαινούμενον· κατὰ δὲ τὸ ποιόν, ἐπειδὰν σαφὲς παραστήσωμεν τοῖς ἀκροαταῖς, ὡς οὐδεὶς τὰ τοιαῦτα, ἢ προείλετο, ἢ εἶπεν, ἢ ἔπραξεν· ὅτι μόνος, ἢ πρῶτος τῶν ἄλλων, ἢ ὡς οὐδεὶς ἕτερος, ἢ ὡς πάνυ ὀλίγοι. δεινοὶ δὲ πρὸς τὴν τοιαύτην αὔξησιν οἱ ἐκ τῶν περιστατικῶν τόπων. προσθεωρεῖται πρόσετι τοῖς ἐγκωμίοις ἡ αὔξησις, ἔκ τε τῶν ἐναντίων, καὶ συγκρίσεων· τὰ δὲ ἔξω, ὅσα δηλαδὴ ἐκ τύχης, ἐγκώμιον μὲν καθ' ἑαυτὰ οὐ τετύχηκε. παραλαμβάνεται μέντοι τὰ πολλὰ εἰς πίστωσιν τῶν εἰρημένων, οἷάπερ καὶ Ἀριστοτέλους ἀνωτέρω ἀκηκόατε. Ταῦτα ὑμῖν καὶ ἐπὶ ψόγου (εἴποτε παρεμπέσοι πρόφασις) ἀποχρήσει. ἐκ γὰρ τῶν ἐναντίων τὰ ἐναντία θηράσιμα. ἡ μέντοι τῶν προτεθειμένων κατὰ τὴν ἔκφρασιν τάξις, τὴν Νεστόρειον ἐκείνην παρ' Ὁμήρῳ μιμεῖσθαι. τὰ μὲν γὰρ ὑπερέχοντα τῶν ἄλλων πρῶτα ἔστωσαν, καὶ τελευταῖα. ὅσα δὲ μειονεκτοῦντα, τὴν μέσην τετάχθω χώραν.

Ε.Υ.Δ.… ΙΩΑΝΝΙΝΑ 2006

ΠΕΡΙ

# ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

Ὁ μὲν ἐπίλογος φωνὴ, οἱονεὶ ἕτερον ἐφ' ἑτέρῳ λόγον δηλοῖ. Ἐπὶ δ' ἀνακεφαλαίωσις τῶν εἰρημένων ἐστὶ ἀπαρίθμησις σύντομος. Ἔργον δὲ αὐτῆς ἀναμνῆσαι τοὺς ἀκροατὰς ἐπιτόμως τε καὶ τεταγμένους τὰ διὰ πολλῶν εἰρημένα, καὶ εἰς σύστασιν τούτους ἠθῶν ἀγαγεῖν. Ἀνάγεται γὰρ ὁ ἐπίλογος, ὥσπερ καὶ τὸ προοίμιον, ἐπὶ τὸ παθητικὸν τοῦ λόγου εἶδος. Πειρατέον οὖν ἐν ἐπιλόγοις τοὺς ἀκροατὰς διαθέσθαι πρὸς μὲν ἡμᾶς αὐτοὺς, εὔνους καὶ συμπαθεῖς, πρὸς δὲ τὸν ἀντίδικον, τὴν ἐναντίαν αὐτοῖς ἐμποιῆσαι διάθεσιν, μνήμονας προσέτι τῶν εἰρημένων καταστήσομεν, ἃ καὶ αὐξήσομεν πως τοῖς τελικοῖς κεφαλαίοις. περὶ ὧν ἀνωτέρω ἀποχρώντως εἴρηται.

Τέλος.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006